τῶν μελῶν ἐπάξας, ἀπόδος, ἔφη, τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶ καὶ προσεύξεται περὶ σοῦ καὶ ζήσεις. εἰ δὲ μὴ ἀποδῷς, γνῶθι ὅτι ἀποθανῇ σὺ καὶ τὰ σὰ πάντα. καὶ οὕτως ἀπολαβὼν τὴν γυναῖκα ἀμίαντον καὶ προσευξάμενος ἰαθῆναι ἐποίησε τῆς παρέσεως Ἀβιμέλεχ καὶ τὸν οἶκον αὐτοῦ. ἔκτοτε τιμῶν αὐτὸν ὁ βασιλεὺς καὶ προσέχων τοῖς ὑπ᾽ αὐτοῦ λεγομένοις, διδάσκαλος εὐσεβείας καὶ πολυπειρίας Αἰγυπτίοις ἐγένετο. ὁ αὐτὸς Ἄβραμ ὑποστρέφων ἐκ τοῦ πολέμου τῆς εὐλογίας τοῦ Μελχισεδὲκ κατηξίωται, τοῦ βασιλέως Σαλήμ, ὃς ἐξήνεγκεν αὐτῷ ἄρτους καὶ οἶνον. ἦν δὲ καὶ ἱερεὺς τοῦ Ὑψίστου. καὶ ἔδωκεν αὐτῷ Ἄβραμ δεκάτην ἀπὸ πάντων. ἦν δὲ ὁ Μελχισεδὲκ ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ. τῷ δὲ Ἄβραμ ἀτεκνίαν ὀλοφυρομένῳ καθ᾽ ὕπνους ἐπιδείξας ὁ θεὸς τοὺς ἀστέρας κατὰ τὸ πλῆθος αὐτῶν ἔσεσθαί οἱ τὸ σπέρμα προεδήλου. ὁ δὲ ἐπίστευσε τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἡ δὲ Σάρρα στεῖρα οὖσα συνεχώρησεν Ἄβραμ ἀπὸ τῆς παιδίσκης παιδοποιήσασθαι· καὶ ἴσχει τὸν Ἰσμαήλ. ἐνενήκοντα δὲ καὶ ἐννέα ἐτῶν ὄντι τῷ Ἄβραμ ἐπιφανεὶς ὁ θεὸς Ἀβραὰμ μετωνόμασεν· Ἄβραμ γὰρ πρώην ὠνομάζετο· ὁμοίως καὶ τὴν Σάραν Σάρραν, προσθεὶς καὶ ἕτερον ρ. καὶ περιέτεμε τὸν Ἰσμαὴλ καὶ πάντας τοὺς ἐξ αὐτοῦ. Κύριος δὲ τῷ Ἀβραὰμ ἐπιξενωθεὶς ἐπηγγείλατο τέξεσθαι Σάρραν αὐτῷ παῖδα. ἡ δὲ ἐμειδίασε, καὶ Ἰσαὰκ τὸ γεννηθὲν προσηγορεύθη, φερωνύμως τῷ μεθ᾽ ἡδονῆς γέλωτι κατὰ τὴν Ἑβραΐδα διάλεκτον. καὶ Ἀβραμιαῖος: Σ
ὁ ἀπόγονος Ἀβραάμ, ἡ γιγαντιαῖος, ἱεροπρεπής.

70 Ἁβρὰ βαίνων: θρυπτόμενος, βλακευόμενος. ἐκεῖνος ὄντως Σ
ἁβρὰ βαίνων ἐδόκει ἔχων τὰς ὀφρῦς ὑπερηρμένας ἄνω.

71 Ἀβέλτερος νοῦς, χαῦνος, εὐήθης, νέος. Σ?

72 Ἀβρανῖτις: χώρα. Δ

73 Ἁβραῖς: ἁπαλαῖς, τρυφεραῖς. Αἰλιανός· ἐπὶ κλίναις μάλα ἁβραῖς E
καὶ στρωμναῖς ὕφει τινὶ ὑπερηφάνῳ κεκοσμημέναις ἐπιθέντας.

74 Ἀβρέας: ὄνομα κύριον. Δ

75 Ἀβρεττηνή: χώρα, ἡ λεγομένη Μυσία. Δ

76 Ἀβρηλία: χώρα. καὶ Ἀβρηλιανὸς καὶ Ἀβρήλιος, ὀνόματα κύρια. Δ

77 Ἀβρικέστερον: τὸ ἀληθέστερον. Δ

78 Ἄβρικτον: τὸ δύσκωφον. ἤτοι τὸ ἐκ μέρους ἀκοῦον. Δ